δαιμόνων καὶ φωναῖς. αὐτὸν μὲν γὰρ τὸν Κρόνον ἐν
ἄντρῳ βαθεῖ περιέχεσθαι πέτρας χρυσοειδοῦς καθεύδοντα
(τὸν γὰρ ὕπνον αὐτῷ μεμηχανῆσθαι δεσμὸν ὑπὸ τοῦ Διός),
ὄρνιθας δὲ τῆς πέτρας κατὰ κορυφὴν εἰσπετομένους
ἀμβροσίαν ἐπιφέρειν αὐτῷ, καὶ τὴν νῆσον εὐωδίᾳ κατ-
έχεσθαι πᾶσαν, ὥσπερ ἐκ πηγῆς σκιδναμένης τῆς πέτρας· |
942 τοὺς δὲ δαίμονας ἐκείνους περιέπειν καὶ θεραπεύειν τὸν
Κρόνον, ἑταίρους αὐτῷ γενομένους, ὅτε δὴ θεῶν καὶ
ἀνθρώπων ἐβασίλευε· καὶ πολλὰ μὲν ἀφ᾽ ἑαυτῶν μαντι-
κοὺς ὄντας προλέγειν, τὰ δὲ μέγιστα καὶ περὶ τῶν με-
γίστων ὡς ὀνείρατα τοῦ Κρόνου κατιόντας ἐξαγγέλλειν·
ὅσα γὰρ ὁ Ζεὺς προδιανοεῖται, ταῦτ᾽ ὀνειροπολεῖν τὸν
Κρόνον, ἐπειδὰν στασιάσαντα τὰ τιτανικὰ πάθη καὶ κινή-
ματα τῆς ψυχῆς ἐν αὐτῷ παντάπασιν ὁ ὕπνος ⟨κατα-
κοιμήσῃ⟩ καὶ γένηται τὸ βασιλικὸν καὶ θεῖον αὐτὸ καθ᾽
ἑαυτὸ καθαρὸν καὶ ἀκήρατον.

Ἐνταῦθα δὴ κομισθείς, ὡς ἔλεγεν, ὁ ξένος καὶ θερα-
B πεύων τὸν θεὸν ἐπὶ σχολῆς, ἀστρολογίας μὲν ἐφ᾽ ὅσον
γεωμετρήσαντι πορρωτάτω προελθεῖν δυνατόν ἐστιν ἐμ-
πειρίαν ἔσχε, φιλοσοφίας δὲ τῆς ἄλλης τῷ φυσικῷ χρώ-
μενος. ἐπιθυμίαν δέ τινα καὶ πόθον ἔχων γενέσθαι τῆς
μεγάλης νήσου θεατής (οὕτως γὰρ ὡς ἔοικε τὴν παρ᾽
ἡμῖν οἰκουμένην ὀνομάζουσιν), ἐπεὶ δὴ τὰ τριάκοντ᾽ ἔτη
διῆλθεν, ἀφικομένων τῶν διαδόχων οἴκοθεν ἀσπασάμενος
τοὺς φίλους ἐξέπλευσε, τὰ μὲν ἄλλα κατεσκευασμένος εὐ-
σταλῶς ἐφόδιον δὲ συχνὸν ἐν χρυσοῖς ἐκπώμασι κομίζων.
ἃ μὲν οὖν ἔπαθε καὶ ὅσους ἀνθρώπους διῆλθεν, ἱεροῖς τε
C γράμμασιν ἐντυγχάνων ἐν τελεταῖς τε πάσαις τελούμενος,